# Paroemiae (e cod. Mosq.)

## ΠΑΡΟΙΜΙΑΙ ΣΥΛΛΕΓΕΙΣΑΙ ΕΚ ΔΙΑΦΟΡΩΝ ΒΙΒΛΙΩΝ ΚΑΙ ΣΥΝΤΕΘΕΙΣΑΙ ΕΝΤΑΥΘΑ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

## ΑΡΧΗ ΤΟΥ Α.

1.1 Αὕτη ἡ μήρινθος οὐδὲν ἔσπασεν: ἀπὸ τῶν ἁλιευτῶν εἴρηται. 1.2 Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος: ἐπὶ τοῖς ἐρωτικοῖς ἐπιορκούμενοι οἱ θεοὶ οὐκ ὀργίζονται. 1.3 Ἀγορὰ Κερκώπων: ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Κέρκωπες γάρ τινες ἀπατεῶνες ἐγένοντο ἐν Ἐφέσῳ. 1.4 Ἀετοῦ γῆρας, κορύδου νεότης: παρόσον καὶ γη ράσκων ἀετὸς κρείττων ἐστὶ νεάζοντος ὄρνιθος. 1.5 Ἀγαθὰ Κιλίκων: ἐπὶ τῶν οὐ καλῶς πλουτούντων. Προδότης γὰρ Κίλιξ τις Μίλητον προδοὺς εὐπόρησεν. 1.6 Ἀγροίκου μὴ καταφρόνει ῥήτορος: ὅτι οὐδὲ ἀτελῶν ** 1.7 Ἀδώνιδος κῆπος: ἐπὶ τῶν ὀλιγοχρονίων καὶ ἀώρων. 1.8 Ἄλλοτε δ' ἀλλοῖον τελέθειν καὶ χώρᾳ ἕπεσθαι: ὅτι προσήκει τινὰ ἐξομοιοῦν ἑαυτὸν τοῖς ἤθεσι τῶν πόλεων καὶ τόπων, ἐν οἷς ἂν γένοιτο· εἴρηται δὲ ἀπὸ τῶν πολυ πόδων. 1.9 Ἄλλην δρῦν βαλάνιζε: ἐπὶ τῶν ἀπαγορευόντων δώσειν ἔτι τοῖς αἰτοῦσιν εἰώθασι λαμβάνειν. 1.10 Ἄιδεις ὥσπερ εἰς Δῆλον πλέων: ἐπὶ τῶν ἀφρον τίστως καὶ φιληδόνως βιούντων. 1.11 Ἅλα καὶ κύαμον: ἐπὶ τῶν μὴ εἰδότων καὶ προσ ποιουμένων· οἱ γὰρ μάντεις ἅλα καὶ κύαμον τιθέασι. 1.12 Αἴρειν μασχάλην: ἀντὶ τοῦ εὐωχιάζειν. εἴρηται δὲ ἀπὸ τῶν ἀγροικικῶς ὀρχουμένων. 1.13 Αἲξ τὴν μάχαιραν. 1.14 Ἄδακρυς πόλεμος· καί· Καθεύδοντος τρό παιον: ἐπὶ τῶν ῥᾷστα καὶ παρὰ ἐλπίδα κατορθούντων. 1.15 Αἰεὶ κολοιὸς πρὸς κολοιόν· καί· Αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς πρὸς τὸν ὁμοῖον. 1.16 Ἀμαλθείας κέρας: ὅτι τῇ τροφῷ αὐτοῦ ὁ Ζεὺς Ἀμαλθείᾳ ἐξ αἰγὸς τρεφούσης αὐτὸν παρέσχε κέρας αἰγός, δι' οὗ ἐπέβλυζεν αὐτῇ πᾶν ὅτι ἂν ᾐτήσατο. 1.17 Ἀετὸν ἵπτασθαι διδάσκεις. 1.18 Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι: ἐπὶ τῶν ἀξίως τιμωμένων. 1.19 Ἀγὼν πρόφασιν οὐκ ἐπιδέχεται οὐδὲ φιλία: 1.19 ἐπὶ τῶν διολλύντων. 1.20 Ἀετὸς ἐν νεφέλαις. 1.21 Ἀληλεσμένος βίος: ἐπὶ τοῦ ἑτοίμου καὶ ἀπόνου. 1.22 Ἀνάγυρον κινεῖς: ἐπὶ τῶν προξενούντων ἑαυτοῖς κακά. 1.23 Ἀεί με τοιοῦτοι πολέμιοι διώκοιεν: ἐπὶ τῶν καταπεφρονημένων καὶ οὐδενὸς ἀξίων. 1.24 Ἀετὸς θρίπας ὁρᾷ: ἐπὶ τῶν καταφρονούντων τινῶν. 1.25 Ἅλμη οὐκ ἔστιν αὐτῷ: ἐπὶ τοῦ ἀηδοῦς. 1.26 Ἀλώπηξ οὐ δωροδοκεῖται: ἐπὶ τῶν οὐ ῥαδίως ἁλισκομένων. 1.27 Ἀεὶ φέρει τι Λιβύη κακόν: ἐπὶ τῶν ἀεὶ ἐξευρι σκόντων τι νέον κακόν. 1.28 Ἄνω ποταμῶν χωροῦσιν αἱ πηγαί: ἐπὶ τῶν ἐναντίως λεγομένων, οἷον εἰ ὁ πόρνος λέγει τὸν σώ φρονα πόρνον. 1.29 Ἀργύρου κρῆναι λαλοῦσιν: ἐπὶ τῶν διὰ πλοῦτον ἐμφανιζομένων ἢ εὐημερούντων. 1.30 Ἀπὸ μείζονος ἀνδρὸς ἄλευε: ἤτοι φυλάττου· ἰωνικῶς. 1.31 Ἀράβιος αὐλητής: ὃς ηὔλει μὲν δραχμῆς, ἐπαύετο δὲ τεττάρων. 1.32 Αἵμασι κλαίειν: καθ' ὑπερβολὴν, ἐπὶ τῶν σφόδρα δακρυόντων. 1.33 Αἱ Χάριτες γυμναί: ὅτι δεῖ δωρεὰν ** εὐεργετεῖν. 1.34 Ἀκόνην σιτίζεις: ἐπὶ τῶν † τρεφομένων καὶ οὐκ ** ἐπιδιδόντων. 1.35 Ἄλλοι κάμον, ἄλλοι ὤναντο: ἐπὶ τῶν παρ' ἐλπίδα τὰ ἀλλότρια κληρονομούντων. 1.36 Ἄλλο γλαὺξ, ἄλλο κορώνη φθέγγεται: ἐπὶ τῶν μὴ συμφωνούντων ἀλλήλοις. 1.37 Ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα: ἐπὶ τῶν ἐξαπατᾶν βουλομένων τοὺς ὁμοίους. 1.38 Ἄλλοισι μὲν γλῶσσα, ἄλλοισι δὲ γομφίοι: ἐπὶ τῶν λάλων καὶ φάγων. 1.39 Ἀνδρὸς γέροντος σταφὶς τὸ κρανίον: ἐπὶ τῶν εἰς οὐδὲν χρησιμευόντων. 1.40 Ἄλλα μὲν Λεύκων, ἄλλα δὲ Λεύκωνος ὄνος: ἐπὶ τῶν ἐχόντων τοῖς λόγοις ἀσύμφωνα τὰ ἔργα. 1.41 Ἄλλην μὲν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξηντλοῦμεν, ἡ δ' ἐπεισρέει: ἐπὶ τῶν μάτην πονούντων. 1.42 Ἤμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας. 1.43 Ἅμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις: ἐπὶ τῶν ἀχαρίστων. 1.44 Ἂν μὴ παρῇ κρέας, ταρίχῳ στερκτέον: ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι. 1.45 Ἄμμες ποτ' ἦμεν. 1.46 Ἀεὶ τὰ πέρυσι βελτίω. 1.47 Ἀνὴρ δὲ φεύγων οὐ μένει κτύπον λύρας: ἐπὶ τῶν ταχέως ὀφειλόντων ἕκαστα πράττειν. 1.48 Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν, ἀλλ' αὐτὸς ἐλθὼν ἐπρίατο: ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων. 1.49 Ἀνέμους γεωργεῖν: ἐπὶ τῶν πονούντων καὶ μηδε νὸς μεταλαγχανόντων. 1.50 Ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται. 1.51 Ἀντὶ πέρκης σκορπίον: ἐπὶ τῶν τὰ χείρω αἱρου μένων. 1.52 Ἁλιεὺς πληγεὶς νοῦν οἴσει. 1.53 Ἄλλοι σπείρουσιν, ἄλλοι δ' ἀμήσονται. 1.54 Ἄρκτου παρούσης ἴχνη ζητεῖς: ἐπὶ τῶν προδήλων. 1.55 Ἀετὸν κάνθαρος μαιεύεται: ἐπὶ τῶν ὑπό τινων εὐτελῶν πασχόντων. ὁ γὰρ κάνθαρος τὰ τοῦ ἀετοῦ ὠὰ ἀφανίζει κυλίων. 1.56 Ἀνδρὸς γέροντος αἱ γνάθοι βακτηρία. 1.57 Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι. 1.58 Ἀλώπηξ τὸν βοῦν ἐλαύνει: ἐπὶ τῶν δολερῶν καὶ μικρῶν, ὅμως δὲ μεγάλους καταγωνιζομένων ἄφρονας. 1.59 Ἄλλοτε μητρυιὴ πέλει ἡμέρα, ἄλλοτε δὲ μή τηρ: ἐπὶ τῶν τότε μὲν εὐημερούντων, ἄλλοτε δὲ δυσημε ρούντων. 1.60 Ἅμα δίδου καὶ λάμβανε: ἐπὶ τῶν πρὸς ἄπιστον συναλλασσομένων. 1.61 Ἄνθρακες ὁ θησαυρὸς γέγονεν: ἐπὶ τῶν ἐφ' οἷς ἤλπισαν διαψευσθέντων. 1.62 Ἀπὸ τῶν βραδυσκελῶν ὄνων ἵππος ὥρουσεν. 1.63 Ἅπαντα τοῖς σοφοῖς εὔκολα: ἐπὶ τῶν διὰ φρονή σεως πάντων περιγινομένων. 1.64 Ἀργυραῖς λόγχαις μάχου καὶ πάντων κρα τήσεις. 1.65 Ἅπας ἐχῖνος τραχύς. 1.66 Ἀσκὸν δείρεις: ἐπὶ τῶν ἀνόητόν τι πονούντων. 1.67 Αὐλητοῦ βίον ζῇς: ἐπὶ τῶν ἐξ ἀλλοτρίων βιούντων. 1.68 Ἀποτίσεις χοῖρε γίγαρτα: ἤτοι ἃ ἔφαγες, ἀπο δώσεις. 1.69 Ἀπήντησε κακοῦ βουλὴ πρὸς ὑπερτάτην ἄτην: ἐπὶ τῶν πασχόντων ἄξια ὧν ἔδρασαν. 1.70 Ἄθως καλύπτει πλευρὰ Λημνίας βοός. 1.71 Ἀπὸ κώπης ἐπὶ βῆμα: ἐπὶ τῶν ἀθρόως μεγίστοις ἐγχειρούντων. 1.72 Αὐτὸν οὐ τρέφων κύνας τρέφεις: ἐπὶ τῶν ἀπο ρούντων μὲν ἑαυτοὺς τρέφειν, ἄλλους δὲ ἐπαγγελλομένων. 1.73 Ἁλῶν μέδιμνον ἀποφαγών: ἐπὶ τῶν ἀχαρίστων. 1.74 Ἅμαξα τὸν βοῦν ἕλκει: ἐπὶ τῶν ἀντιστρόφως τι ποιούντων. 1.75 Ἁμαξιαῖα ῥήματα: ἐπὶ τῶν μεγάλων λόγων. 1.76 Ἄνθρωπος Εὔριπος, καὶ ψυχὴ, καὶ διάνοια, καὶ τρόπος: ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων. 1.77 Ἀπόλωλεν ἡ ὗς καὶ τὸ τάλαντον καὶ ἡ γνάθος. 1.78 Ἀκλητὶ κωμάζουσιν ἐς φίλους φίλοι: ὅμοιον καὶ τό· Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτ' ἴασιν. 1.79 Ἀνεῳγμέναι Μουσῶν θύραι. 1.80 Ἀρχὴ ἄνδρα δείκνυσιν. 1.81 Ἁλῶν δὲ φόρτος ἔνθεν ἦλθεν, ἔνθ' ἔβη: ἐπὶ τῶν κακῶς κτηθέντων καὶ ἀποκτηθέντων. ἔμπορος γὰρ ἅλας ἐπιφερόμενος ἐν νηῒ κλύδωνος γενομένου τοὺς ἅλας ἐν τῇ θαλάσσῃ ἀπέβαλεν. 1.82 Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγο ρεύειν. 1.83 Ἂν ἡ λεοντῆ μὴ ἐξίκηται, τὴν ἀλωπεκῆν πρόσ αψον: ἐπὶ τῶν φανερῶς μὲν βλάπτειν μὴ δυναμένων, πανουργίᾳ δὲ χρωμένων. 1.84 Ἀρότρῳ ἀκοντίζεις: ἐπὶ τῶν ἀσκέπτως τι ποιούντων. 1.85 Αὐτὰρ ἡ πάγη ἔοικε λήψεσθαι πάγην. 1.86 Αὐτοῦ Ῥόδος, αὐτοῦ πήδημα. 1.87 Ἀρχαϊκὰ φρονεῖς: ἤτοι εὐήθη. 1.88 Ἀβυδηνὸν ἐπιφόρημα: διὰ τὸ τοὺς Ἀβυδηνοὺς μετὰ δεῖπνον προσάγειν τοὺς αὑτῶν παῖδας τοῖς εὐωχου μένοις κεκραγότας καὶ θορυβοῦντας καὶ ἀηδίαν ἐμποιοῦν τας τοῖς δαιτυμόσιν. 1.89 Ἄβρωνος βίος: ὁ πολυτελής. Ἄβρων γάρ τις ἐγένετο πλούσιος. ὅθεν καὶ ἁβροδίαιτος. 1.90 Ἀεὶ γεωμόρος ἐς νέωτα πλούσιος. 1.91 Ἀδεὲς δέος: ἐπὶ τῶν μάτην δεδοικότων. 1.92 Ἀγαμεμνόνεια φρέατα: Ἀγαμέμνων γὰρ παρὰ τὴν Αὐλίδα καὶ τὴν ὅλην Ἑλλάδα φρέατα ὤρυξεν. 1.93 Ἀγαμέμνονος θυσία: ἐπὶ τῶν δυσπειθῶν καὶ σκλη ρῶν. θύοντος γὰρ Ἀγαμέμνονος ὁ βοῦς φυγὼν μόλις ἐλήφθη. 1.94 Ἀγαθὴ καὶ μᾶζα μετ' ἄρτον: ἐπὶ τῶν τὰ δεύ τερα τισὶ διδόντων. 1.95 Ἀγαθώνειος αὔλησις: ἡ ἡδίστη καὶ εὐφραντή. 1.96 Ἀνδριὰς σφυρήλατος: ἐπὶ τῶν ἀναισθήτων. 1.97 Ἀγέλαστος πέτρα: ἐπὶ τῶν λύπης προξένων· ἐφ' ᾗ ἡ Δημήτηρ, ὅτε τὴν κόρην ἐζήτει, ἐκάθισεν. 1.98 Ἀγαθῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θάλασσα· καί· Ἀγαθῶν θησαυρός· καί· Ἀγαθῶν ἀγαθίδες· καί· Ἀγαθῶν μυρμηκιά: ἐπὶ πλήθους ἀγαθῶν λέγονται. 1.99 Ἁγνότερος πηδαλίου: παρόσον ἐν θαλάττῃ τὸ πηδάλιον ἅττον = καθαρὸν ἐστίν. 1.100 Ἄλλος οὗτος Ἡρακλῆς: ἐπὶ τῶν ἰσχυρῶν.

2.1 Ἅλις δρυός: ἐπὶ τῶν εἴς τινα δίαιταν βελτίονα μεταβαλλομένων· παυσάμενοι γὰρ τῶν βαλάνων οἱ παλαιοί, μετεῖχον σίτου καὶ οἴνου. 2.2 Ἄκαιρος εὔνοι' οὐδὲν ἔχθρας διαφέρει: ταύτην Ἱππόλυτος πρὸς Φαίδραν εἶπε, φάσκουσαν φιλεῖν αὐτὸν σφόδρα. 2.3 Αὐτοὶ χελώνας ἐσθίετε, εἴπερ ἔχετε: ἁλιεῖς ἡλίευσαν μεγάλην χελώνην καὶ ἀνασπάσαντες αὐτὴν ἐμέρι ζον τὴν παροῦσαν· τὸν δὲ Ἑρμῆν παριόντα ἐπὶ τὴν ἑστία σιν ἐκάλουν· ὁ δὲ τὸ προκείμενον εἶπε. 2.4 Ἂν οἶνον αἰτῇ, κόνδυλον αὐτῷ δίδου: ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, δεινὰ δὲ λαμβανόντων. 2.5 Αἱροῦντες ᾑρήμεθα: ἐπὶ τῶν ἐλπισάντων νικᾶν τινὰς, εἶθ' ὑπ' ἐκείνων ἁλόντων. 2.6 Αἰάντειος γέλως: ἐπὶ τῶν παραφρόνως γελώντων. 2.7 Ἀνίπτοις χερσίν: ἐπὶ τῶν βεβήλοις χερσὶ τὰ ἱερὰ μεταχειριζομένων. 2.8 Ἀκέφαλος μῦθος: ἐπὶ τῶν ἀτελῆ λεγόντων. 2.9 Ἄλλως ᾄδεις: ἐπὶ τῶν μάτην πονούντων. 2.10 Ἅμ' ἔπος, ἅμ' ἔργον: ἐπὶ τῶν ὀξέως ἀνυομένων. 2.11 Ἀντιπελαργεῖν: ἀντὶ τοῦ, ἀντιδιδόναι χάριτας. λέ γεται γὰρ τοὺς πελαργοὺς γεγηρακότας τοὺς γονεῖς τροφεῖν. 2.12 Ἄπληστος πίθος: ἐπὶ τῶν γαστριμάργων. 2.13 Ἄνθρωπος ἀνθρώπου δαιμόνιον: ἐπὶ τῶν ἀπροσ δοκήτως ὑπ' ἀνθρώπων σωζωμένων. 2.14 Ἄξιος τοῦ παντός: ἐπὶ τῶν σφόδρα τιμίων. 2.15 Αἰεὶ γέροντι νέαν ποτιβάλλει κούρην: ἐπὶ τῶν πρεσβυτέρων βουλομένων νέαις συνευνάζεσθαι. 2.16 Ἄξιος εἶ τῆς ἐν Ἄργει ἀσπίδος: ἐπὶ τῶν εὐγενῶν. 2.17 Ἀνέμου παιδίον: ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων. 2.18 Ἀπὸ βαλβῖδος: ἤτοι ἀπ' ἀρχῆς δεῖ καλὸν εἶναι. 2.19 Ἀντὶ κακῆς κυνὸς ὗν ἀπαιτεῖς: ἐπὶ τῶν κακὰ ἀντὶ κακῶν ἐπιδιδόντων. 2.20 Ἀρχαιότερα τῆς διφθέρας λέγεις: ἐπὶ τῶν μωρὰ διηγουμένων. ἡ γὰρ διφθέρα, ἐν ᾗ ὁ Ζεὺς ἐπεγράφετο τὰ γινόμενα, παμπάλαιος. 2.21 Ἀφ' ὑψηλοῦ μου καταγελᾷς: ἐπὶ τῶν ἐξ ὕψους διαλεγομένων. ὡσανεὶ πάνυ μου καταφρονεῖς. 2.22 Ἀργούντων χορός: ἐπὶ τῶν κακὰ ποιούντων. 2.23 Ἄϊδος κυνῆν: ἐπὶ τῶν ἐπικρυπτόντων ἑαυτοὺς διά τινων μηχανημάτων. τοιαῦτα γὰρ τὰ τοῦ Ἅιδου. 2.24 Αἰτναῖον κάνθωνα: τὸν μέγαν. 2.25 Ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν. 2.26 Ἄλλο γλαῦξ, ἄλλο κόρυδος φθέγγεται. 2.27 Ἀντλεῖν ἀμφοτέραις: ἐπὶ τῶν σπουδῇ τι ποιούν των. ὅμοιον τῇ· πάντα κάλων κινεῖς. 2.28 Ἀθηνᾷ τὸν αἴλουρον: λείπει τὸ συγκρίνεις. 2.29 Ἀηδόνες λέσχαι **: ἐπὶ τῶν ἀδολεσχούντων. 2.30 Ἀρουραία μάντις: ἀκρὶς δυσκίνητος, χλωρά. ταύ της ταῖς κινήσεσι οἱ ἀγροῖκοι προσέχουσι καὶ μαντείας ἐξ αὐτῆς ποιοῦνται· τίθεται οὖν ἐπὶ τῶν φαύλως μαντευο μένων. 2.31 Αἱ Οἰδίποδος ἀραί: αἱ φρικταὶ καὶ παλαμναῖαι. 2.32 Αἴρειν ἔξω πηλοῦ πόδα. 2.33 Ἀκμὴ καλεῖ. 2.34 Ἀφ' ἵππων εἰς ὄνους. 2.35 Ἄκρῳ ἅψασθαι δακτύλῳ.

## ΑΡΧΗ ΤΟΥ Β.

2.36t Βασίλειος ὀφθαλμός: τὸν ἐπί τινα ἀρχὴν πεμπό μενον οὕτως ἐκάλουν. 2.37 Βάτραχος Σερίφιος: ἐπὶ τῶν ἀφώνων. 2.38 Βάλλ' ἐς ὕδωρ: ἀντὶ τοῦ καταπόντισον. ἐπὶ τῶν ὀλέ θρου ἀξίων. 2.39 Βορβόρῳ ὕδωρ λαμπρὸν οὔποθ' εὑρήσεις: ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις. 2.40 Βὴξ ἀντὶ πορδῆς: ἐπὶ περδόντων καὶ προσποιουμέ νων βήχειν ἢ γελᾶν. ὃ ἐκλαμβάνεται ἐπὶ τῶν ἐν ἀπορίᾳ τι πράττειν προσποιουμένων. 2.41 Βοῦς ἐν πόλει: ἐπὶ τῶν θαυμαζομένων. Λυσίας γὰρ ἐν ἀκροπόλει βοῦν ἔθηκεν. 2.42 Βατράχῳ ὕδωρ· καί· Στέαρ γαλῇ: ἐπὶ τῶν ταῦτα διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες. 2.43 Βάλλεις μήλοις: ἐπὶ τῶν τυχεῖν ὧν ἐρῶσι βουλομένων. 2.44 Βαλανεύς: ἐπὶ τοῦ πολυπράγμονος. οὗτοι γὰρ σχο λὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄγοντες, πολυπράγμονες εἰσίν. 2.45 Βοιώτιος νοῦς: ἐπὶ τῶν ἀπαιδεύτων· εἰς τοῦτο γὰρ ἀεὶ ὠνειδίζοντο οἱ Βοιωτοί. 2.46 Βοιώτια αἰνίγματα: ἐπὶ τῶν ἀσυνέτων· Βοιωτὴ γὰρ ἡ Σφίγξ. 2.47 Βοιώτιος νόμος: ἐπὶ τῶν καταρχὰς ἠρεμούντων, ὕστερον δὲ ταρασσομένων. 2.48 Βάσανος λίθος: ἐπὶ τῶν ἐξεταζομένων ἐν λόγοις· παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει. 2.49 Βοῦς ἐπὶ γλώσσης: ἐπὶ τῶν δωροδοκουμένων. διὰ τὸ τῶν Ἀθηναίων νόμισμα βοῦν ἔχειν.

## ΑΡΧΗ ΤΟΥ Γ.

2.50t Γόνυ κνήμης ἔγγιον: ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἑτέ ρων ἀγαπώντων. 2.51 Γέροντα δ' ὀρθοῦν φαῦλον, ὃς νέος πέσῃ. 2.52 Γλυκεῖ' ὀπώρα φύλακος ἐκλελοιπότος: ἐπὶ τῶν ἄνευ μόχθου τὰ ἀλλότρια καρπουμένων. 2.53 Γραῦς βακχεύει: ἐπὶ τῶν παρ' ὥραν τὶ διαπραττο μένων. 2.54 Γαστέρα μοι προφέρεις, κάλλιστον ὄνειδος ἁπάντων, ἣ πλήρης μὲν ἐλαφρότερα, κενεὰ δὲ βαρεῖα. 2.55 Γῆς βάρος: ἐπὶ ἀχρήστων. 2.56 Γλυκὺς ἀπείρων πόλεμος: ἐπὶ τῶν ὑπ' ἀπειρίας ἑαυτοὺς καθιέντων εἰς κινδύνους. 2.57 Γραῦς ἀνακροτήσασα πολὺν κονιορτὸν ἐγεί ρει: ἐπὶ τῶν δι' ἐμπειρίαν πολλὰ πράγματα κινούντων. 2.58 Γύγου δακτύλιος: ἐπὶ τῶν πολυμηχάνων. 2.59 Γυμνότερος παττάλου: ἐπὶ τῶν σφόδρα ἀπόρων. 2.60 Γυνὴ στρατηγεῖ· καί· Γυνὴ στρατοπεδεύεται: ἐπὶ τῶν παραδόξων. 2.61 Γυναικὶ μὴ πίστευε, μηδ' ὅταν θάνῃ. 2.62 Γέλως Ἰωνικός: ἐπὶ τῶν ἐκλελυμένων· εἰς τοῦτο γὰρ οἱ Ἴωνες διεβάλλοντο. 2.63 Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται. 2.64 Γλαῦκα εἰς Ἀθήνας: ἐπὶ τῶν ἐπιδεικνυμένων πρὸς τοὺς εἰδότας, ἅπερ ἄμεινον αὐτῶν ἴσασι. ὅτι πολλαὶ εἰς Ἀθήνας γλαῦκες. 2.65 Γέρων βοῦς ἀπένθητος ἐν δόμοισιν. 2.66 Γνῶθι σαυτόν: ἀπόφθεγμα Χίλωνος. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ὑπὲρ ὅ εἰσι κομπαζόντων. 2.67 Γυμνότερος λεβηρίδος: λεβηρὶς γὰρ τὸ δέρμα τοῦ ὄφεως ἢ τοῦ ἐμβρύου. 2.68 Γυμνῷ φυλακὴν ἐπιτάττεις: ἐπὶ τῶν μὴ δυναμέ νων τὰ προστεταγμένα πληροῦν. 2.69 Γηράσκω ἀεὶ πολλὰ διδασκόμενος: ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων. 2.70 Γηρᾷ βοῦς, τὰ δ' ἔργα πολλὰ τῷ βοΐ. 2.71 Γυμνῇ τῇ κεφαλῇ: ἐπὶ τῶν ἀναισχύντως χωρούντων πρὸς πᾶν τὸ τυχόν. 2.72 Γυμνὸς ὡς ἐκ μήτρας: ἐπὶ τῶν ἀπόρων. 2.73 Γυναικὸς φρένας: ἐπὶ τῶν ἀνοήτων. 2.74 Γλῶσσα ποῦ πορεύῃ, πόλιν ἀνορθώσασα καὶ πάλιν καταστρέφουσα: ἐπὶ τῶν διὰ λόγων ἢ βλαπτόν των ἢ ὠφελούντων. 2.75 Γλαῦξ ἵπταται: ἡ πτῆσις τῆς γλαυκὸς νίκης σύμ βολον τοῖς Ἀθηναίοις ἐνομίζετο. 2.76 Γεράνδρυον μεταφυτεύειν: ἐπὶ τοῦ μὴ δεῖν τοὺς γέροντας ἐπὶ τὰ τῶν ἀκμαζόντων ἔργα προτρέπειν. γεράν δρυον γὰρ τὸ γηράσκον φυτόν· καὶ δρῦς πᾶν φυτὸν γενικῷ ὀνόματι καλεῖται. 2.77 Γύργαθον φυσᾷς: ἐπὶ τῶν μάτην πονούντων. ** οἱ δὲ, τὸ δίκτυον.

## ΑΡΧΗ ΤΟΥ Δ.

2.78t Δίκην ὑφέξει, κἂν ὄνος δάκῃ κύνα: ἐπὶ τῶν ἐπὶ μικρῷ συκοφαντουμένων. 2.79 Δίκη δίκην ἔτικτε καὶ βλάβην βλάβη: ἐπὶ τῶν φιλοδίκων καὶ συνειρόντων δίκας δίκαις: καὶ ἐπὶ τῶν πυ κναῖς προσπιπτόντων συμφοραῖς. 2.80 Δὶς πρὸς τὸν αὐτὸν αἰσχρὸν προσκρούειν λίθον. 2.81 Δωδωναῖον χαλκεῖον: ἐπὶ λάλου. 2.82 Δακτύλῳ δεῖ σε ἑλκυσθῆναι: ἐπὶ τῶν διὰ ** ἢ λύπην ἰσχνῶν γενομένων. 2.83 Δῶρα θεοὺς πείθει καὶ αἰδοίους βασιλῆας. 2.84 Δεινοὶ πλέκειν γε μηχανὰς Αἰγύπτιοι. 2.85 Δέδοται καὶ κακοῖς ἄγρα. 2.86 Δεύτερος πλοῦς. 2.87 Δελφῖνα λεκάνη οὐ χωρεῖ. 2.88 Δὶς παῖδες οἱ γέροντες: ἐπὶ τῶν πρὸς τῷ γήρᾳ εὐηθεστέρων εἶναι δοκούντων. 2.89 Δαιδάλεια ποιήματα: ἐπὶ θαυμασμοῦ. 2.90 Δικαιότερος σταχάνης: ἐπὶ τῶν τὰ δίκαια ἀγα πώντων. οἱ γὰρ Δωριεῖς σταχάνην τὴν τρυτάνην καλοῦσι διὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν στάσιν. 2.91 Διωλύγιον κακόν: ἐπὶ τῶν μέγα τι κακὸν ὑφισταμένων. 2.92 Διὸς ψῆφος: ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων. 2.93 Διὰ μέσου καὶ λιμὸς ἔῤῥει καὶ κάλλιστ' ἀπόλ λυται: φθαρέντος τοῦ λιμώττοντος καὶ ὁ λιμὸς ἀπόλλυται.

## ΑΡΧΗ ΤΟΥ Ε.

2.94t Εὐγενέστερος Κόδρου. 2.95 Ἐν μὲν τῷ φάει σκοτεινὸς, ἐν δὲ τῷ σκότει φαεινός. 2.96 Ἐπιμενίδου ὕπνος: ἐπὶ τῶν πολλὰ κοιμωμένων· πεντήκοντα γὰρ ἔτη ἐκάθευδεν. 2.97 Ἐς Τροφωνίου μεμάντευσαι: ἐπὶ τῶν σκυθρω πῶν καὶ ὠχρῶν. 2.98 Ἐν ἅλῳ δρασκάζεις: ἤτοι κρύπτῃ. ἐπὶ τῶν μὴ δυ ναμένων λαθεῖν. 2.99 Ἔστω ταμίας· τἄλλα δ' εἰ βούλει κύων: ἐπὶ τῶν παρ' ἀξίαν εὐημερούντων καὶ μάλιστα εὐνούχων. 2.100 Ἐκ παντὸς ξύλου κύφων ἂν γένοιτο: ἐπὶ τῶν τὸ εἶδος εὐτελῶν, εἰς χρείαν δὲ ἀναγκαίων. 3.1 Εἰς ἀρχαίας φάτνας: ἐπὶ τῶν ἐλθόντων εἰς ἅπερ πρότερον ὄντες ἐξέπεσον. 3.2 Ἐν δυοῖν τρία βλέπεις: ἐπὶ τῶν ἄλλα ἀντ' ἄλλων ὁρώντων. 3.3 Ἐκπερδικίσαι: ** καὶ ἐκκλῖναι. ἐπὶ τῶν διαδιδρα σκόντων τοὺς θηρευτάς. 3.4 Ἐλέφαντα ἐκ μυίας ποιεῖς: ἐπὶ τῶν τὰ μικρὰ ἐπαιρόντων τῷ λόγῳ. 3.5 Ἐμαυτῷ βαλανεύσω: ἀντὶ τοῦ, ἐμαυτῷ διακονήσω. 3.6 Εἰς ἀσθενοῦντας ἀσθενῶς ἐλήλυθας: ἐπὶ τῶν ὅμοια πασχόντων. 3.7 Εὕδοντι κύρτος αἱρεῖ: ἐπὶ τῶν εὐτυχούντων. 3.8 Ἔνεστι καὶ μύρμηκι χολή: ὅτι μηδὲ τοῦ μικροῦ δεῖν καταφρονεῖν. 3.9 Ἐκ τετρημένης κύλικος πιεῖν: ἐπὶ τῶν ἐψευσμέ νων φίλων. 3.10 Ἐν μέλιτι σαυτὸν κατακρύπτεις: ἐπὶ τῶν συζών των ἡδυπαθείαις. 3.11 Ἐνδυμίωνος ὕπνον ὑπνώττει: ἐπὶ τῶν πολλὰ κοιμωμένων. 3.12 Ἐνδύεται τὴν λεοντῆν. 3.13 Εἴληφεν ἡ παγὶς τὸν μῦν: ἐπὶ τῶν ἀξίως ἁλισκο μένων. 3.14 Ἐν τριόδῳ εἰμὶ λογισμῶν: ἐπὶ τῶν ἀπορούντων. 3.15 Ἕλκων ἐφ' ἑαυτὸν ὥσπερ ὁ καικίας νέφος. 3.16 Ἐν φρέατι κυσὶ μάχεσθαι. 3.17 Ἐκδεδαρμένον δαίρεις: ἐπὶ τῶν μάτην πονούν των. βέλτιον δὲ ἐπὶ τῶν κακούντων τοὺς ἐν συμφοραῖς. 3.18 Ἐν θέρει τὴν χλαῖναν κατατρίβεις: ἐπὶ τῶν μὴ καθ' ὥραν τοῖς ἀναγκαίοις χρωμένων. 3.19 Ἑρμῆς ἀμύητος. 3.20 Ἔνθα οὔτε πλεῖν ἄνεμος οὔτε μίμνειν ἐᾷ: ἐπὶ τῶν δυσχρήστοις περιπεσόντων. 3.21 Ἐλέφας μυὸς οὐκ ἀλεγίζει. 3.22 Ἐκτὸς πηλοῦ πόδα ἔχεις: ἐπὶ τῶν ἔξω κινδύνων ὄντων. 3.23 Ἐκ τριχὸς κρέμαται: ἐπὶ τῶν κινδυνευόντων· ὅμοιον τῷ Ἐπὶ ξυροῦ. 3.24 Εὐγενὴς ἐκ βαλαντίου: ἐπὶ τῶν διὰ πλοῦτον τιμωμένων. 3.25 Ἔγχος ἐπὶ τῷ ἔγχει: γραῦν φασι τοῦτο εἰπεῖν κα πήλῳ ἐνεχυράζουσαν ἔγχος. 3.26 Ἐλεύθεραι αἶγες ἀρότρου: ἐπὶ τῶν βάρους τινὸς ἀπηλλαγμένων. 3.27 Εἰς κόλπον πτύεις: ἀντὶ τοῦ, μεγαλοῤῥημονεῖς. 3.28 Ἐν πίθῳ τὴν κεραμείαν: ἐπὶ τῶν μὴ κατὰ τρό πον τοῖς μαθήμασι προβαινόντων. 3.29 Ἐν σκότει ὀρχεῖσθαι: ἐπὶ τῶν ἀμαρτύρως μο χθούντων. 3.30 Εἰς θεοῦ ὦτα ἦλθεν: ἐπὶ μεγάλων πραγμάτων. 3.31 Εἷς ἀνὴρ οὐδεὶς ἀνήρ. 3.32 Ἐν νυκτὶ βουλήν: ἐπειδὴ ἡ νὺξ παῤῥησίαν δίδωσι. 3.33 Εἰς πάγας ὁ λύκος: ἐπὶ τῶν ἁρπαζόντων μὲν, κατασχεθέντων δέ. 3.34 Εἰς μελίττας ἐκώμασας: ἐπὶ τῶν κακουμένων ἀθρόως. 3.35 Ἐν πέντε κριτῶν γούνασι: τὸ γὰρ παλαιὸν πέντε κριταὶ ἔκρινον τοὺς κωμικούς· ἢ ὅτι ἐν γόνασιν εἶχον, ἃ νῦν εἰς γραμματεῖον ἐγγράφεται. 3.36 Ἐκ λύκου στόματος: ἐπὶ τῶν ἀνελπίστως παρὰ τινῶν τι λαμβανόντων. 3.37 Ἐλέφαντος οὐδὲν διαφέρει: ἐπὶ τῶν ἀναισθήτων. 3.38 Εἰς Τροιζῆνα βαδίζεις: ἐπὶ τῶν ἐχόντων σπάνιν γενείων. Πώγων γάρ ἐστι λιμὴν Τροιζήνιος. 3.39 Ἐλάφειος ἀνήρ: ὁ δειλός. 3.40 Εὐμεταβολώτερος κοθόρνου: ὑποδήματος εἶδος ὁ κόθορνος, ἐφαρμόζων τοῖς δυσὶ ποσίν. 3.41 Ἐν γῇ πένεσθαι μᾶλλον ἢ πλουτοῦντα πλεῖν. 3.42 Ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα: ἐπὶ τῶν ἀλυσιτελῶν δώρων. 3.43 Ἐῤῥίφθω κύβος: ἐπὶ τῶν ῥιψοκινδυνούντων. 3.44 Ἐν ἀμούσοις καὶ κόρυδος φθέγγεται. 3.45 Ἐν Καρὶ τὸν κίνδυνον: ἀντὶ τοῦ· οὐ περὶ μεγά



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λων ὁ κίνδυνος. 3.46 Ἐξ ἄμμου σχοινίον πλέκεις: ἐπὶ τῶν ἀδυνάτων. 3.47 Ἐπὶ σπείρᾳ σχοινίον: ἐπὶ τῶν δωρουμένων τισὶν οὐχ ἕτερα, ἀλλ' οἷς κέκτηνται ὅμοια· σπεῖρα γὰρ καὶ σχοι νίον τὸ αὐτό. 3.48 Ἔξω βελῶν καθῆσθαι. 3.49 Ἐπειδὴ τὸν οἶνον ἔπιες, συνεκποτέ' ἔστω σὺ καὶ τὴν τρύγα. 3.50 Ἐπὶ Μανδραβόλου τὸ πρᾶγμα χωρεῖ: ἀντὶ τοῦ ἐπὶ τὸ χεῖρον. Μανδραβόλας γάρ τις τὰς αὐτὰς θυσίας, ὅρκοις ἑαυτὸν καταδήσας, τοῖς θεοῖς κατ' ἔτος προσάγειν **. τὸ μὲν πρῶτον δέκα βοῦς ἔθυσε, τὸ δὲ δεύτερον παρ' ἕνα, ἤτοι ἐννέα. περιελθόντος δὲ τοῦ τρίτου ἀφείλετο ἕτερον· καὶ οὕτω ποιῶν διὰ τῶν ἑξῆς ἐνιαυτῶν κατέστη εἰς ἐπιορκίαν. 3.51 Ἐπὶ καλάμῃ ἀροῖ· ἐπὶ τῶν εὖ καὶ καλῶς γεωργούντων. 3.52 Ἐπὶ ὅλμου ἐκοιμήσω: ἐπὶ τῶν μαντείας ποριζο μένων ἔκ τινων ἐνυπνίων· τὸν ὅλμον γὰρ συμβάλλεσθαι ἐλέγετο πρὸς μαντείας.

## ΑΡΧΗ ΤΟΥ Ζ.

3.53t Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας: ὅτι οὐκ ἀπρονόητος. τὸν γὰρ Δία φασὶν εἰς διφθέρας γράφειν τὰ πραττόμενα τοῖς ἀνθρώποις. 3.54 Ζωὴ πίθου: ἐπὶ τῶν μετρίως ζώντων· ἀπὸ Διογένους τοῦ φιλοσόφου, ᾧ πίθος ἡδίστη διατριβή. 3.55 Ζῇ ἡ χύτρα, ζῇ ἡ φιλία. 3.56 Ζωὸς γενήσῃ κρομμύου μοῖραν λαβών: ἐπὶ τῶν ἐκ μικρῶν αἰτιῶν μεγάλην δόξαν καρπουμένων. 3.57 Ζῶμεν οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα. 3.58 Ζητῶν ὄψον θοἰμάτιον ἀπώλεσα: ἐπὶ τῶν ἀτυ χεστάτων.

## ΑΡΧΗ ΤΟΥ Η.

3.59t Ἧλιξ ἥλικα τέρπει. 3.60 Ἧλος τὸν ἧλον, πάτταλος τὸν πάτταλον ἐξέ κρουεν: ἐπὶ τῶν ἰωμένων δι' ἁμαρτημάτων ἁμάρτημα. 3.61 Ἢ λέγε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχε. 3.62 Ἡ κύων ἐν τῇ φάτνῃ: πρὸς τοὺς μήτε ἑαυτοὺς χρω μένους, μήτε ἄλλους ἐῶντας. παρόσον ἡ κύων κριθὴν οὐκ ἐᾷ † μένουσα ἐν φάτνῃ καὶ τὸν ἵππον οὐκ ἐᾷ. 3.63 Ἦσάν ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. 3.64 Ἠλιθιώτερος Ἀδώνιδος τοῦ Πραξιτέλους: Ἄδωνις γάρ τις Πραξιτέλους υἱὸς ἀποθανὼν καὶ ἐρωτηθεὶς πρὸς τῶν ἐν Αἴδου, τί κάλλιστον ἄνω κατέλιπεν, ἀπεκρί νατο· ἥλιον, σελήνην, σῦκα καὶ μῆλα. ἔδοξε γοῦν ἠλίθιος ταῦτα ἐξισῶν ἡλίῳ. 3.65 Ἡ ἀφύη πῦρ: ἐπὶ τῶν ταχέως ** λαμβανόντων· πα ρόσον ἡ ἀφύη ταχέως ἑψεῖται. 3.66 Ἡρακλῆς καὶ πίθηκος: ἐπὶ τῶν ἀσυμβάτων.

## ΑΡΧΗ ΤΟΥ Θ.

3.67t Θυμὸς ἔσχατον γηράσκει: λέγεται δὲ διὰ τοὺς πρεσβυτέρους. ὅσον γὰρ γηράσκουσι, τὸν θυμὸν ἐῤῥωμενέ στερον ἔχουσι. 3.68 Θαλάττιον ἐκ χαράδρας ὕδωρ: ἐπὶ τῶν τοῖς με γάλοις τὰ μικρὰ φιλοτιμουμένων. 3.69 Θάσος ἀγαθῶν: ἐπὶ τῶν εὐδαίμονα καὶ λαμπρὸν ἀποδεῖξαί τινα ἐπαγγελλομένων. 3.70 Θυμόσοφος: ἐπὶ τῶν ὀξυμαθῶν καὶ εὐφυῶν. 3.71 Θάμυρις μαίνεται: ἐπὶ τῶν συνετῶς μὲν βιούν των, δοκούντων δέ τισι μαίνεσθαι. Θάμυρις γάρ τις ἰδὼν μαστιγούμενον οἰκέτην παρὰ τοῦ δεσπότου αὐτοῦ ἐν τῷ ἱερῷ καὶ μὴ τοῦ ἱεροῦ φροντίζοντος τὴν οὐσίαν αὐτῷ † δοὺς ἀπεδήμησεν. ὃν οἱ ὁρῶντες ἔλεγον· Μαίνεται Θάμυρις.

## ΑΡΧΗ ΤΟΥ Ι.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

3.72t Ἴσως Ἐριννύς ἐστιν ἐκ τραγῳδίας: τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει. 3.73 Ἰλιὰς κακῶν ἐπῄει: ἐπὶ ταῖς μεγίσταις συμφοραῖς. 3.74 Ἱππόλυτον μιμήσομαι: ἐπὶ τῶν σωφρονεῖν βου λομένων. 3.75 Ἰχθὺν νήχεσθαι διδάσκεις: ἐπὶ τῶν διδασκόντων ἃ ἐπίστανται. 3.76 Ἰαλέμου ψυχρότερος: Ἰάλεμον τὸν θρῆνον φασί· λέγουσι δὲ αὐτὸν υἱὸν Καλλιόπης γενέσθαι, κακοδαίμονα καὶ ὑστερούμενον καὶ ὀρφανόν. 3.77 Ἱερὰ ἄγκυρα: ἡ μεγάλη βοήθεια. 3.78 Ἱππέας. καὶ ἵππον εἰς πεδίον προσκαλῇ: ὅπερ ἐστί· τοὺς εὐδοκιμοῦντας εἰς ἅπερ εὐδοκιμοῦσιν. 3.79 Ἴσος πόλεμον οὐ ποιεῖ. 3.80 Ἰσότης φιλότης.

## ΑΡΧΗ ΤΟΥ Κ.

3.81t Κακοῦ κόρακος κακὸν ᾠόν: ὅτι ἄβρωτόν ἐστιν αὐτὸ τὸ ζῷον, ἀλλὰ δὴ καὶ τὸ ᾠὸν αὐτοῦ. ἢ ἀπὸ Κόρακος ῥήτορος πρώτου διδάξαντος τὴν ῥητορικήν· τὸν γὰρ μαθη τὴν αὐτοῦ μισθὸν ἀπαιτοῦντος, εἰς τὸ δικαστήριον, εἶπεν ὁ αὐτὸς μαθητής, ἴωμεν· καὶ εἰ μὲν νικήσεις, οὐ μεμά θηκα. εἰ δὲ ἡττηθήσῃ, οὐ λήψῃ μισθούς. 3.82 Κόσμει σπάρταν, ἣν ἔλαχες: ὅτι δεῖ στέργειν τῇ δεδομένῃ τύχῃ καὶ ἀνέχεσθαι. 3.83 Καδμεία νίκη: ἡ ἐπὶ κακῷ τῶν νενικηκότων. 3.84 Κύκνειον ᾆσμα: ἐπὶ τῶν ἐγγὺς θανάτῳ ὄντων. οἱ γὰρ κύκνοι θνήσκοντες ᾄδουσιν. 3.85 Κορώνη τὸν σκορπίον: ἐπὶ τῶν βλαβεροῖς ἐπιχει ρούντων. 3.86 Κιλίκιοι τράγοι: οἱ δασεῖς. ὅθεν καὶ τὰ ἐκ τριχῶν ἱμάτια κιλίκια λέγονται. 3.87 Κρητίζειν: ἀντὶ τοῦ ψεύδεσθαι· τοιοῦτοι γὰρ οἱ Κρῆτες. 3.88 Καθάπερ αἱ τίτθαι σιτίζεις κακῶς. 3.89 Κατόπιν ἑορτῆς ἥκεις: ἐπὶ τῶν καλοῦ πράγματος ἀπολιμπανομένων. 3.90 Κύων ἐπὶ τὸν ἴδιον ἔμετον. 3.91 Κολοφῶνα ἐπέθηκας: ἤτοι τὸ τέλειον καὶ πλῆρες. ἐπὶ μεγάλων πραγμάτων καὶ βεβαίου ψήφου. 3.92 Κἂν ἐπὶ νεκροῦ κερδαίνειν: ἐπὶ τῶν κερδαινόν των ἐκ πενήτων ἢ τεθνεώτων. 3.93 Καρκίνος λαγωὸν αἱρεῖ: ἐπὶ τῶν ἀδυνάτων. 3.94 Κατὰ ῥοῦν φέρεται: ἐπὶ τῶν εὐπλοούντων. 3.95 Κεστρεὺς νηστεύει: ἐπὶ τῶν λαιμάργων· ἄπληστον δὲ τὸ ζῷον. 3.96 Κενὰ κενοὶ βουλεύονται. 3.97 Κριὸς τροφεῖα ἀπέτισεν: ἐπὶ τῶν ἀχαρίστων· οἱ γὰρ κριοὶ καὶ τὰς φάτνας πλήττουσι καὶ τοὺς θρέψαντας. 3.98 Κακὰ μὲν θρίπες, κακὰ δ' ἶπες: ἄμφω γὰρ λυ μαντικοί· καὶ οἱ μὲν τὰ ξύλα, οἱ δὲ τὰ κέρατα ἐσθίουσιν. 3.99 Κανθάρου μελάντερος· καί· κανθάρου σοφώ τερος: ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. 3.100 Κακοὶ τῆς πονηρίας πίνουσι τὴν ὁμίχλην: ἐπὶ τῶν καταξίως τιμωρουμένων. 4.1 Κακῶν πανήγυρις: ἐπὶ πλήθους κακῶν. 4.2 Κηροῦ εὐπλαστότερος: ἐπὶ τῶν ῥᾳδίως τι ποι ούντων. 4.3 Καθ' ἑαυτοῦ Βελλεροφόντης. 4.4 Κερκωπίζειν: ἀντὶ τοῦ δουλεύεσθαι καὶ ἀπατᾶν· με τενήνεκται δὲ ἀπὸ τῶν Κερκώπων. 4.5 Κατὰ βοὸς εὔχου: ἐπὶ τῶν μέγα βοώντων. 4.6 Κωφότερος κίχλης: παρόσον ἄφωνον τὸ ζῷον. 4.7 Κανθάρου σκιά: ἐπὶ τῶν φοβουμένων, ἔνθα οὐ δεῖ. 4.8 Κορυδέως εἰδεχθέστερος: ἐπὶ δυσμορφίᾳ οὗτος διεβάλλετο. 4.9 Κεκύλισται ὁ πίθος: ἐπὶ τῶν κατὰ μίμησιν ἑτέρων μάτην τι ποιούντων. 4.10 Κύρβεις **: ξύλα πινακοειδῆ, ἐν οἷς τοὺς νόμους ἔγραφον. 4.11 Κοινὰ τὰ τῶν φίλων. 4.12 Κοσκίνῳ μαντεύεται: ἐπὶ τῶν εὐτελῶν μάντεων.

## ΑΡΧΗ ΤΟΥ Λ.

4.13t Λήμνια κακά: ἀπὸ τῶν ἐν Λήμνῳ γυναικῶν, αἳ τοὺς ἄνδρας αὐτῶν ἀπέκτανον. 4.14 Λαγωὸς περὶ κρεῶν: ἐπὶ τῶν κινδυνευόντων καὶ ἀγω νιζομένων. ἐπειδὴ κἀκεῖνος περὶ τῶν ἑαυτοῦ κρεῶν τρέχει. 4.15 Λύκος μάτην χανών· καί· Λύκος περὶ φρέαρ χορεύει: ἐπὶ τῶν μάτην πονούντων. 4.16 Λίνον λίνῳ κλώθεις: ἐπὶ τῶν τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτὰ πραττόντων ἢ λεγόντων ἢ τῶν κατάλληλα. 4.17 Λύκος ἀετὸν φεύγει: ἐπὶ τῶν ἀφύκτων. 4.18 Λύδιον ἅρμα: ἐπὶ τῶν ἐριζόντων ἐν ἀγῶσι καὶ πολὺ ἀπολιμπανομένων· ὁ γὰρ Πέλοψ Λυδὸς ὢν ἐνίκησε τὸν Οἰνόμαον τῷ ἰδίῳ ἅρματι καὶ ἔκτοτε ἡ παροιμία· Παρὰ Λύδιον ἅρμα θέειν. 4.19 Λευκῷ λίθῳ λευκὴ στάθμη. 4.20 ***: ἐπὶ τῶν τιθεμένων τὰς ψήφους ἀσαφεῖς καὶ φερούσας ἐπ' ἀμφότερα καὶ ἀσθενεῖς αὐτόθεν. 4.21 Λαγὼς καθεύδει: ἐπὶ τῶν προσποιουμένων, ἤτοι πανουργευομένων. 4.22 Λήμνιον βλέπεις: ἤτοι πυρῶδες· ἐπειδὴ τὸ Λή μνιον πῦρ ἀπὸ τοῦ Ἡφαίστου. 4.23 Λέρνη κακῶν: λίμνη ἦν, εἰς ἣν τὰ καθάρματα Ἕλ ληνες ἔβαλλον. 4.24 Λεπτὴν πλέκει: ἐπὶ τῶν πενιχρῶν. 4.25 Λιβυκὸν θηρίον: ἐπὶ τῶν πολυτρόπων· διὰ τὸ τὴν Λιβύην πολύθηρον εἶναι. 4.26 Λυγκέως ὅμοιος: ἤγουν ὀξυδερκής. 4.27 Λυδὸς ἐν μεσημβρίᾳ: ἐπὶ τῶν ἀκολάστων, ὡς ταύ ταις ταῖς ὥραις ἀκολασταινόντων· οἱ γὰρ Λυδοὶ κωμῳδοῦν ται ταῖς χερσὶν αὐτῶν πληροῦντες τὰ ἀφροδίσια. 4.28 Λήθαργος κύων: ὁ προσσαίνων μὲν, δάκνων δὲ λάθρα. 4.29 Λύκου πτερά: ἐπὶ τῶν ἀδυνάτων. 4.30 Λύχνον ἐν μεσημβρίᾳ ἅπτεις: ἐπὶ τῶν ἐν καιρῷ ἀνεπιτηδείῳ τι ποιούντων.

## ΑΡΧΗ ΤΟΥ Μ.

4.31t Μία λόχμη δύο ἐριθάκους οὐ τρέφει: ἐπὶ τῶν ἐκ μικροῦ κερδαίνειν σπουδαζόντων. ἐρίθακος δέ ἐστιν ὄρ νεον μονῆρες καὶ μονότροπον. 4.32 Μηδικὴ τράπεζα: ἐπὶ τῶν εὐπόρων. 4.33 Μὴ μελαμπύγου τύχῃς: μή τινος ἀνδρείου καὶ ἰσχυροῦ. 4.34 Μὴ πῦρ ἐπὶ πῦρ. 4.35 Μὴ κινεῖν κακὸν εὖ κείμενον. 4.36 Μὴ παιδὶ μάχαιραν: μὴ τοῖς ἀπείροις ἐγχειρεῖν πράγματα, ἵνα μὴ καθ' ἑαυτῶν χρήσωνται. 4.37 Μέλιτος μυελός: ἐπὶ τοῦ ἄγαν ἡδέος. 4.38 Μηδὲ μέλι μηδὲ μελίσσας: ἐπὶ τῶν παραιτουμέ νων ἀγαθόν τι παθεῖν διὰ τὸν κίνδυνον τὸν ἐν αὐτῷ. 4.39 Μὴ πρὸς λέοντα δορκὰς ἅψωμαι μάχης. 4.40 Μυσῶν λεία: οἱ γὰρ περίοικοι τοὺς Μυσοὺς ἐλήϊζον. 4.41 Μὴ κίνει Καμάριναν: λίμνη, ἣν ἀπηγόρευεν ὁ χρησμὸς μετοχετεῦσαι· οἱ δὲ χρησαμένου παρακούσαντες ἐβλάβησαν. 4.42 Μωμήσεται μᾶλλον ἢ μιμήσεται: ἐπὶ τῶν ἀπαι δεύτων. 4.43 Μία χελιδὼν ἔαρ οὐ ποιεῖ οὐδὲ μία μέλισσα μέλι. 4.44 Μασχάλας αἴρειν: ἐπὶ τῶν πολλάκις πινόντων.

## ΑΡΧΗ ΤΟΥ Ν.

4.45t Νέμεσις δέ γε παρὰ πόδα βαίνει: παρόσον μέτ εισι ταχέως ἡ δαίμων τοὺς ἡμαρτηκότας. 4.46 Νῷ πείθου: ὁμοία τῇ· θεῷ ἕπου. 4.47 Νεκρῷ μῦθον εἰς οὖς ἔλεγεν: ἐπὶ τοῦ μὴ ἐπαΐον τος. καὶ ἐπὶ τῶν ἀναισθήτων. 4.48 Νεφέλας ξαίνεις: ἐπὶ τῶν ἀδυνάτων. 4.49 Ναῦς ἱκετεύει πέτραν: ἐπὶ τῶν σφόδρα ἀναισθήτων.

## ΑΡΧΗ ΤΟΥ Ξ.

4.50t Ξύλον ἀγκύλον οὐδέποτ' ὀρθόν: ἐπὶ τῶν ἀδιορ θώτων. 4.51 Ξυρὸς εἰς ἀκόνην. 4.52 Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται: ἀντὶ τοῦ· θεοῦ βουλομένου καὶ τὰ κακὰ μεθίσταται εἰς τέρψιν.

## ΑΡΧΗ ΤΟΥ Ο.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

4.53t Οὐ παρὰ βωμὸν δεῖ τὰς ἐπινοίας: ὅτι πρὸ τῶν πραγμάτων δεῖ βουλεύεσθαι καὶ μὴ ἐν αὐτοῖς τοῖς πρά γμασιν. ὥσπερ καὶ οἱ τὰ ἱερεῖα προσάγοντες οὐ μετὰ τὸ θῦσαι βουλεύονται. 4.54 Οὐκ ἂν αὖθις ἀλώπηξ: λείπει τὸ ἁλώσεται. αὕτη γὰρ ἅπαξ διαφυγοῦσα πάγας, οὐ δευτέρως ἁλίσκεται. 4.55 Ὄνος ἄγει μυστήρια: ἐπὶ τῶν ἀναξίως τι βαστα ζόντων. 4.56 Ὄνου γνάθοι: εἰς πολυφάγον. 4.57 Ὅπου ἔλαφοι τὰ κέρατα ἀποβάλλουσι: τόποι δύσβατοι. λέγεται οὖν ἐπὶ τῶν ἐργώδεις τὰς διατριβὰς ποιουμένων. 4.58 Οἱ μὲν γὰρ οὐκέτ' εἰσίν· οἱ δ' ὄντες κακοί. 4.59 Οἴκοι τὰ Μιλήσια· μὴ γὰρ ἐνθάδε: ἐπὶ τῶν ὅπου μὴ προσήκει τοὺς τρόπους ἐπιδεικνυμένων. Μιλήσιος γὰρ ἐλθὼν εἰς Λακεδαιμονίους ἐδημηγόρησε πολλὰς τρυφὰς ἔχων· διὸ καὶ ἤκουσε ταῦτα. 4.60 Οἶνος ὦ παῖδες ἀλήθεια. 4.61 Ὄνος εἰς ἄχυρα. 4.62 Οὔθ' ὕεται οὔθ' ἡλιοῦται: ἐπὶ τῶν ἀναισθήτων. 4.63 Οὐκ ἐπαινεθείης οὐδὲ παρὰ δεῖπνα: ἐπὶ τῶν φαυλοτάτων καὶ οὐδενὸς ἀξίων. εἰώθασι γὰρ ἐν τοῖς ἐπὶ τῶν ἀποθανόντων δείπνοις αὐτοὺς ἐπαινεῖν κἂν ἔτυχον ὄντες φαυλότατοι. 4.64 Οἴκοθεν ὁ μάρτυς: ἐπὶ τῶν καθ' ἑαυτῶν φερόντων μάρτυρας. 4.65 Ὄνος ἐν μελίσσαις: ἐπὶ τῶν ἐν κακοῖς περιπεσόντων. 4.66 Ὄνος λύρας ἀκούων: ἐπὶ τῶν ἀξυνέτων. 4.67 Ὄνῳ τις ἔλεγε μῦθον· ὁ δὲ τὰ ὦτα ἐπέσειεν: ἐπὶ τῶν ἀνοήτων. 4.68 Ὁ κνὶψ ἐν χώρᾳ: ἐπὶ τῶν ταχέως μεταπιπτόντων. κνὶψ γὰρ θηρίον ξυλοφάγον. 4.69 Οἴκοι γενοίμην: ἐπὶ τῶν ἐκφυγεῖν τὰ δεινὰ εὐχομένων. 4.70 Ὀστράκου μεταπεσόντος: ἐπὶ τῶν ἀπροφασίστως μεταβεβλημένων. 4.71 Ὀρνίθων γάλα. 4.72 Οὐδὲν πρὸς ἔπος. 4.73 Οὐδὲν πρὸς τὴν χορδήν. 4.74 Οὐδὲ κύων παύσαιτ' ἂν ἅπαξ σκυτοτραγεῖν μαθοῦσα. 4.75 Οὐδ' ἴκταρ βάλλει: ἀντὶ τοῦ· οὐδ' ἐγγύς. 4.76 Οὐδέποτ' ἴσχει ἡ θύρα: ἐπὶ τῶν πάντας ὑποδεχο μένων καὶ ξενιζόντων. 4.77 Οὐδ' ἂν Ἐξηκεστίδης εὕροι τὴν εὐθεῖαν ὁδόν: ἐθρυλλεῖτο ὁ Ἐξηκεστίδης ὡς πᾶσαν ὁδὸν γιγνώσκων διὰ τὴν χρόνιον πλάτην. 4.78 Ὁ Ταντάλου λίθος ὑπὲρ κεφαλῆς ταλαντεύε ται: ἀντὶ τοῦ φόβος ἡμᾶς ἔχει διηνεκής.

*** 4.79 Πολλὰ μεταξὺ κύλικος καὶ χείλεος ἄκρου: ἐπὶ τῶν εἰς χρόνον μακρὸν γενήσεσθαι μελλόντων. 4.80 Πλίνθον πλύνεις: ἐπὶ τῶν ἀδυνάτων. 4.81 Πολλοί σε μισήσουσιν, ἂν σαυτὸν φιλῇς: τοῦτό φασι Νύμφας πρὸς Νάρκισσον εἰπεῖν, ἀποβλέποντα εἰς πηγὴν καὶ τὴν οἰκείαν ποθοῦντα μορφήν. 4.82 Πάνθ' ὑπὸ μιᾶς Μύκονος: ἐπὶ τῶν μιᾷ δίκῃ καταδικασθέντων. 4.83 Πρὸ τῆς νίκης ἐγκώμιον ᾄδεις: ἐπὶ τῶν προλαμβανόντων τὰ πράγματα. 4.84 Πονηρὰ κατὰ τρυγόνα ψάλλεις: ἐπὶ τῶν ἐπιπόνως ζώντων. 4.85 Πολύποδος ὁμοιότης: πρὸς τοὺς ἐξομοιοῦντας ἑαυτούς. 4.86 Ποταμὸς πρὸς θάλατταν ἐρίζει: ἐπὶ τῶν ἀδυνάτων. 4.87 Πενίη σοφίην ἔλαχε: ἐπειδὴ οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσιν. 4.88 Πολλῶν ἀχύρων ὀλίγον καρπὸν ἀνήγαγον. 4.89 Παρὰ κωφῷ διαλέγῃ. 4.90 Πρὸς σῆμα μητρυιᾶς κλαίει: ἐπὶ τῶν προσποιουμένων. 4.91 Πολλαῖσι πληγαῖς δρῦς δαμάζεται. 4.92 Πρὶν τοὺς ἰχθῦς λαβεῖν τὴν ἅλμην κυκᾷς: ἐπὶ τῶν τοὺς καιροὺς προλαμβανόντων. 4.93 Πολλαὶ κυνὸς ἄῤῥενος εὐναί: ἐπὶ τῶν κατωφερῶν εἰς τὰ τῆς Ἀφροδίτης ἔργα. 4.94 Πολλάκις μωρὸς ἀνὴρ κατακαίριον εἶπεν. 4.95 Πτωχοῦ πήρα οὐκ ἐμπίμπλαται: ἐπὶ τῶν ἀπλήστων. 4.96 Ποικιλώτερος ὕδρας: ἐπὶ τῶν δολερῶν. 4.97 Πῦρ ἐπὶ δαλὸν ἐλθόν. 4.98 Πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα. 4.99 Πολλοί τοι ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι. 4.100 Πρὸς κέντρα λακτίζει. 5.1 Προφάσεως δεῖται μόνον ἡ πονηρία. 5.2 Πολλὰ ψεύδονται ἀοιδοί. 5.3 Πολλῶν ἐγὼ θηρίων ἀκήκοα ψόφους. 5.4 Πεινῶσαν ἀλώπεκα ὕπνος ἔρχεται. 5.5 Πάντα πέτρον κινήσω, πάντα κάλων. 5.6 Πρὸς λέοντα δορκάδες συνάπτουσι μάχας. ***

5.7 Χαμαιλέων ζῷόν ἐστιν εἰς ἅπαντα τὴν χρόαν μετατρέπων πλὴν λευκοῦ. 5.8 Χελώνη μυιῶν: ἐπὶ τῶν ἀφροντιστούντων τινός. Τῷ δ' Ἀγαμέμνονι τῆς Θερσίτου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παῤῥησίας ἔλαττον ἔμελεν ἢ χελώνῃ μυιῶν. 5.9 Χειρώνειον ἕλκος: ἤτοι ἀνήκεστον. 5.10 Χθόνια λουτρά: τὰ τοῖς νεκροῖς ἐπιφερόμενα· ἐκόμιζον γὰρ εἰς τάφους λουτρά. 5.11 Χύτραν ποικίλλειν: ἐπὶ τῶν ἀδυνάτων. 5.12 Χυτρεοῦς: ἤτοι ὀστράκινος, εὐτελής. 5.13 Χρυσὸς Κολοφώνιος: οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάσαντο. καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν Κολοφώνιον χρυσόν. 5.14 Χαλεπὸν χορίου κύνα γεύειν. 5.15 Χρήματ' ἀνήρ· πενιχρὸς δ' οὐδέποτ' ἐσθλός. 5.16 Χωρὶς τὰ Φρυγῶν καὶ Μυσῶν ὁρίσματα. 5.17 Χροῒ δῆλα: φασὶ Φερεκύδην τὸν σοφὸν φθειριάσαντα τελευτῆσαι, εἰπεῖν δὲ πρὸς Πυθαγόραν περὶ τούτου πυνθανόμενον, προβάλλοντα τὸν δάκτυλον. 5.18 Χύτραις λημᾶν καὶ κολοκύνταις: ἐπὶ τῶν ἀμβλυωπούντων. 5.19 Χρυσῷ καταπάττων ἡμᾶς οὐ γινώσκεις: ἐπὶ τῶν εἰκῆ λοιδορουμένων.

## ΑΡΧΗ ΤΟΥ Ψ.

5.20t Ψύρα τὸν Διόνυσον: τὰ Ψύρα εὐτελὴς νῆσός ἐστι καὶ μικρὰ πλησίον Χίου μὴ δυναμένη οἶνον ἐνεγκεῖν. λέγομεν οὖν τὴν παροιμίαν ἐπὶ τῶν ἐν συμποσίῳ ἀνακειμένων καὶ μὴ πινόντων. λέλεκται δὲ καὶ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων.

## ΑΡΧΗ ΤΟΥ Ω.

5.21t Ὠσὶν ἑστῶσιν: ἐπὶ τῶν πρὸς τὸ ἀκοῦσαι ὦτα εὐτρεπιζομένων. 5.22 Ὤδινεν ὄρος, εἶτα μῦν ἀπέτεκεν: ὅταν ἐλπίσας τις μεγάλα μικροῖς ἐντύχῃ. 5.23 Ὣς ἥρως ἐν ἀσπίδι ξενίσαι βούλομαι: λέγεται ἐπὶ τῶν τοὺς φίλους τοῖς ἑαυτῶν ἔργοις εὐεργετούντων.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.